TRADUCTION ET COMMENTAIRE D'UN TEXTE GREC

QUEL TALENT !

Socrate se joue du sophiste Hippias en feignant de mesurer la science d'un orateur à l'aune de ses émoluments.

SOCRATE — Je puis attester avec toi que tu dis vrai et qu'en effet votre art a progressé pour ce qui est de pouvoir traiter les affaires publiques en même temps que les intérêts privés. Par exemple Gorgias, le célèbre sophiste de Léontini, venu ici en ambassade depuis son pays à titre public, parce que, disait-on, il était des Léontins le plus capable de traiter de l'intérêt commun, a acquis devant le peuple une réputation d'excellent orateur en même temps que, à titre privé, par ses démonstrations et ses leçons aux jeunes gens, il a réalisé et gagné de grosses sommes sur notre ville. Veux-tu un autre exemple ? Notre célèbre ami Prodicos s'est déjà souvent déplacé à titre public ; pour autant, quand finalement il est naguère venu ici depuis Kéos à titre public, son discours devant le Conseil lui a valu un bien grand renom en même temps que, à titre privé, par ses démonstrations et ses leçons aux jeunes gens, il a gagné des sommes fabuleuses. Parmi les anciens savants au contraire, aucun n'a jamais cru devoir exiger de salaire en argent ni donner des démonstrations de la science qui était la sienne devant toute sorte de gens, tant ils étaient simples et ignoraient quelle immense valeur a l'argent ! Au contraire, chacun des deux sophistes que j'ai nommés a tiré plus d'argent de sa science que tout autre artisan de son art, quel qu'il soit ; et de même Protagoras avant eux.

ΣΩΚΡΑΤΗΣ — Συμμαρτυρῆσαι δέ σοι ἔχω ὅτι ἀληθῆ λέγεις, καὶ τῷ ὄντι ὑμῶν ἐπιδέδωκεν ἡ τέχνη πρὸς τὸ καὶ τὰ δημόσια πράττειν δύνασθαι μετὰ τῶν ἰδίων. Γοργίας τε γὰρ οὗτος ὁ Λεοντῖνος σοφιστὴς δεῦρο ἀφίκετο δημοσίᾳ οἴκοθεν πρεσβεύων, ὡς ἱκανώτατος ὢν Λεοντίνων τὰ κοινὰ πράττειν, καὶ ἔν τε τῷ δήμῳ ἔδοξεν ἄριστα εἰπεῖν, καὶ ἰδίᾳ ἐπιδείξεις ποιούμενος καὶ συνὼν τοῖς νέοις χρήματα πολλὰ ἠργάσατο καὶ ἔλαβεν ἐκ τῆσδε τῆς πόλεως· εἰ δὲ βούλει, ὁ ἡμέτερος ἑταῖρος Πρόδικος οὗτος πολλάκις μὲν καὶ ἄλλοτε δημοσίᾳ ἀφίκετο, ἀτὰρ τὰ τελευταῖα ἔναγχος ἀφικόμενος δημοσίᾳ ἐκ Κέω λέγων τ' ἐν τῇ βουλῇ πάνυ ηὐδοκίμησεν καὶ ἰδίᾳ ἐπιδείξεις ποιούμενος καὶ τοῖς νέοις συνὼν χρήματα ἔλαβεν θαυμαστὰ ὅσα. Τῶν δὲ παλαιῶν ἐκείνων οὐδεὶς πώποτε ἠξίωσεν ἀργύριον μισθὸν πράξασθαι οὐδ' ἐπιδείξεις ποιήσασθαι ἐν παντοδαποῖς ἀνθρώποις τῆς ἑαυτοῦ σοφίας· οὕτως ἦσαν εὐήθεις καὶ ἐλελήθει αὐτοὺς ἀργύριον ὡς πολλοῦ ἄξιον εἴη. Τούτων δ' ἑκάτερος πλέον ἀργύριον ἀπὸ σοφίας εἴργασται ἢ ἄλλος δημιουργὸς ἀφ' ἥστινος τέχνης· καὶ ἔτι πρότερος τούτων Πρωταγόρας.

ΙΠΠΙΑΣ — Οὐδὲν γάρ, ὦ Σώκρατες, οἶσθα τῶν καλῶν περὶ τοῦτο. Εἰ γὰρ εἰδείης ὅσον ἀργύριον εἴργασμαι ἐγώ, θαυμάσαις ἄν· καὶ τὰ μὲν ἄλλα ἐῶ, ἀφικόμενος δέ ποτε εἰς Σικελίαν, Πρωταγόρου αὐτόθι ἐπιδημοῦντος καὶ εὐδοκιμοῦντος καὶ πρεσβυτέρου ὄντος πολὺ νεώτερος ὢν ἐν ὀλίγῳ χρόνῳ πάνυ πλέον ἢ πεντήκοντα καὶ ἑκατὸν μνᾶς ἠργασάμην, καὶ ἐξ ἑνός γε χωρίου πάνυ σμικροῦ, Ἰνυκοῦ, πλέον ἢ εἴκοσι μνᾶς· καὶ τοῦτο ἐλθὼν οἴκαδε φέρων τῷ πατρὶ ἔδωκα, ὥστε ἐκεῖνον καὶ τοὺς ἄλλους πολίτας θαυμάζειν τε καὶ ἐκπεπλῆχθαι. Καὶ σχεδόν τι οἶμαι ἐμὲ πλείω χρήματα εἰργάσθαι ἢ ἄλλους σύνδυο οὕστινας βούλει τῶν σοφιστῶν.

ΣΩ. — Καλόν γε, ὦ Ἱππία, λέγεις καὶ μέγα τεκμήριον σοφίας τῆς τε σεαυτοῦ καὶ τῶν νῦν ἀνθρώπων πρὸς τοὺς ἀρχαίους ὅσον διαφέρουσι.

De fait, d'après ce que tu dis, nos prédécesseurs étaient de grands ignorants, puisque, dit-on, il arriva à Anaxagore le contraire de ce qui vous arrive à vous. Héritier d'une grosse fortune, il la perdit tout entière par sa négligence, tant il est vrai qu'avec toute sa science il manquait d'intelligence. On en rapporte autant d'autres anciens. Tu me parais donc publier là une belle preuve de ce que vaut la science de nos contemporains comparée à celle de leurs prédécesseurs ; et beaucoup de gens sont du même avis, que le savant doit être avant tout savant pour lui-même ; ce qui revient à dire qu'il doit se faire le plus d'argent possible.

Τῶν γὰρ προτέρων πολλὴ ἀμαθία κατὰ τὸν σὸν λόγον. Τοὐναντίον γὰρ Ἀναξαγόρᾳ φασὶ συμβῆναι ἢ ὑμῖν· καταλειφθέντων γὰρ αὐτῷ πολλῶν χρημάτων καταμελῆσαι καὶ ἀπολέσαι πάντα — οὕτως αὐτὸν ἀνόητα σοφίζεσθαι — λέγουσι δὲ καὶ περὶ ἄλλων τῶν παλαιῶν ἕτερα τοιαῦτα. Τοῦτο μὲν οὖν μοι δοκεῖς καλὸν τεκμήριον ἀποφαίνειν περὶ σοφίας τῶν νῦν πρὸς τοὺς προτέρους, καὶ πολλοῖς συνδοκεῖ ὅτι τὸν σοφὸν αὐτὸν αὑτῷ μάλιστα δεῖ σοφὸν εἶναι· τούτου δ' ὅρος ἐστὶν ἄρα, ὃς ἂν πλεῖστον ἀργύριον ἐργάσηται.

PLATON, *Hippias majeur*.

Vous traduirez le texte grec qui n'est pas encore traduit avant de commenter l'ensemble du passage.